φήσεις ποτ᾽ εἶναι παῖδα γενναῖον ξένον.
βλέψον πρὸς αὐτήν, εἴ τι σῇ δοκεῖ πρέπειν
γυναικί· λύπης δ᾽ εὐτυχῶν μεθίστασο.
ΑΔ. ὦ θεοί, τί λέξω; θαῦμ᾽ ἀνέλπιστον τόδε;
γυναῖκα λεύσσω τήνδ᾽ ἐμὴν ἐτητύμως;
ἢ κέρτομός μ᾽ ἐκ θεοῦ τις ἐκπλήσσει χαρά;
ΗΡ. οὐκ ἔστιν, ἀλλὰ τήνδ᾽ ὁρᾷς δάμαρτα σήν.
ΑΔ. ὅρα γε μή τι φάσμα νερτέρων τόδ᾽ ᾖ.
ΗΡ. οὐ ψυχαγωγὸν τόνδ᾽ ἐποιήσω ξένον.
ΑΔ. ἀλλ᾽ ἣν ἔθαπτον εἰσορῶ δάμαρτ᾽ ἐμήν;
ΗΡ. σάφ᾽ ἴσθ᾽. ἀπιστεῖν δ᾽ οὔ σε θαυμάζω τύχην.
ΑΔ. θίγω, προσείπω ζῶσαν ὡς δάμαρτ᾽ ἐμήν;
ΗΡ. πρόσειπ᾽. ἔχεις γὰρ πᾶν ὅσονπερ ἤθελες.
ΑΔ. ὦ φιλτάτης γυναικὸς ὄμμα καὶ δέμας,
ἔχω σ᾽ ἀέλπτως, οὔποτ᾽ ὄψεσθαι δοκῶν.
ΗΡ. ἔχεις· φθόνος δὲ μὴ γένοιτό τις θεῶν.
ΑΔ. ὦ τοῦ μεγίστου Ζηνὸς εὐγενὲς τέκνον,
εὐδαιμονοίης, καί σ᾽ ὁ φιτύσας πατὴρ
σῴζοι· σὺ γὰρ δὴ τἄμ᾽ ἀνώρθωσας μόνος.
πῶς τήνδ᾽ ἔπεμψας νέρθεν ἐς φάος τόδε;
ΗΡ. μάχην συνάψας δαιμόνων τῷ κυρίῳ.
ΑΔ. ποῦ τόνδε Θανάτῳ φῂς ἀγῶνα συμβαλεῖν;
ΗΡ. τύμβον παρ᾽ αὐτὸν ἐκ λόχου μάρψας χεροῖν.
ΑΔ. τί γάρ ποθ᾽ ἥδ᾽ ἄναυδος ἕστηκεν γυνή;
ΗΡ. οὔπω θέμις σοι τῆσδε προσφωνημάτων
κλύειν, πρὶν ἂν θεοῖσι τοῖσι νερτέροις
ἀφαγνίσηται καὶ τρίτον μόλῃ φάος.
ἀλλ᾽ εἴσαγ᾽ εἴσω τήνδε· καὶ δίκαιος ὢν
τὸ λοιπόν, Ἄδμητ᾽, εὐσέβει περὶ ξένους.
καὶ χαῖρ᾽· ἐγὼ δὲ τὸν προκείμενον πόνον
Σθενέλου τυράννῳ παιδὶ πορσυνῶ μολών.
ΑΔ. μεῖνον παρ᾽ ἡμῖν καὶ ξυνέστιος γενοῦ.
ΗΡ. αὖθις τόδ᾽ ἔσται, νῦν δ᾽ ἐπείγεσθαί με δεῖ.